www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ
# ΑΝΑΝΙΟΥ.

## ΕΟΡΤΑΖΟΜΕΝΟΥ ΤΗΝ 1ην ΟΚΤΩΒΡΙΟΥ.

Συμπληρωθεῖσα ὑπό
Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου (+),
Ὑμνογράφου
τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.



www.tezaurliturgic.ro

## ΟΚΤΩΒΡΙΟΥ Α΄.

### ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ

# ΑΝΑΝΙΟΥ

## ΕΝ ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩι

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος!

Μάκαρ Ἀνανία ἔνδοξε, καταυγασθεὶς τὴν ψυχήν, τῇ ἐλλάμψει τῆς χάριτος, μαθητὴς θεόπεμπτος, καὶ Ἀπόστολος ἔνθεος, καὶ ὑπηρέτης θεοειδέστατος, τοῦ σαρκωθέντος καὶ κόσμον σώσαντος, Λόγου γεγένησαι, καὶ αὐτοῦ τοῖς ἴχνεσιν, ἀκολουθῶν, λόγον τὸν σωτήριον, πᾶσιν ἐκήρυξας.

Ὤφθη ὁ Χριστὸς κατ᾽ ὄναρ σοι, ὡς μαθητῇ ἱερῷ, Ἀνανία Ἀπόστολε, καὶ ἐξαποστέλλει σε, πρὸς τὸν Παῦλον εὐχόμενον, ᾧ ἐπιθείς σου τὰς χεῖρας ἔνδοξε, τοῦτον κατ᾽ ἄμφω λαμπρῶς ἐφώτισας· ὅθεν ἱκέτευε, σὺν αὐτῷ δεόμεθα, ὑπὲρ ἡμῶν, τῶν ἐπιτελούντων σου, μνήμην τὴν πάνσεπτον.

Λόγῳ καὶ σοφίᾳ κρείττονι, μυσταγωγῶν ἱερῶς, εὐσεβείας Ἀπόστολε, τὸ μέγα μυστήριον, τοὺς τῇ πλάνῃ καθεύδοντας, τούτους πρὸς πίστιν θείαν ἐπέστρεψας, καὶ κληρονόμους Χριστοῦ ἀνέδειξας· ὢ τῶν ἀγώνων σου! ὧν στερρῶς διήθλησας, καὶ τῆς ζωῆς, πᾶσιν ἀνεκήρυξας, τὸ Εὐαγγέλιον.

Φέρων τοῦ Χριστοῦ τὰ στίγματα, τῷ σώματί σου σοφέ, ὡς Ἀπόστολος ἔνθεος, ἄθλους ἐβεβαίωσας, σωτηρίας τὸ κήρυγμα· καὶ τὸν ἀγῶνα καλῶς τελέσας σου, ὑπερκοσμίων βραβείων ἔτυχες· ὢ ἧς ἠξίωσαι, δόξης καὶ λαμπρότητος! ἧς καὶ ἡμᾶς, κοινωνοὺς ἀνάδειξον, ταῖς ἱκεσίαις σου.

www.tezaurliturgic.ro



Δόξα. Ἦχος β΄.

Τῆς ἐν Χριστῷ οἰκονομίας, ὑποφήτης σοφὸς ἀναδειχθείς, τὰ κατ' αὐτὴν ἀγαθὰ εὐηγγελίσω, Ἀνανία Ἀπόστολε· γλώσσῃ γὰρ θεορρήμονι, τὴν κεκρυμμένην ἀποκαλύπτων γνῶσιν, οὐρανίῳ πολιτείᾳ, τὴν τῶν πρακτέων ἐκφαίνεις χρηστότητα· καὶ νομίμως ἀθλήσας, Χριστὸν ἐδόξασας, τὸν παρέχοντα διὰ σοῦ, ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου...

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Μύστης θεοειδής, σαρκώσεως τῆς θείας, τοῦ κενωθέντος Λόγου, ἐδείχθης Ἀνανία, τοῦ βίου τῇ λαμπρότητι.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν...

Παῦλον τὸν εὐκλεῆ, χρηματισθεὶς θεόθεν, φωτὶ τῷ Τρισηλίῳ, φωτίζεις Ἀνανία, ὡς πλήρης θείου Πνεύματος.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται...

Ἤθλησας ἱερῶς, Ἀπόστολε θεόφρον, καὶ τοῦ Χριστοῦ τὸ πάθος, ἀθλητικῷ σου πάθει, δοξάσας τεθαυμάστωσαι.

Δόξα. Τριαδικόν.

Ἔλλαμψιν ἀληθῆ, ὦ Τρίφωτε Θεότης, Πάτερ, Υἱὲ καὶ Πνεῦμα, δίδου ἡμῖν ἀπαύστως, λιταῖς τοῦ Ἀποστόλου σου.

Καὶ νῦν. Θεοτοκίον.

Σάρκα ἐκ τῶν ἁγνῶν, αἱμάτων σου ὁ Λόγος, λαβὼν ἀνερμηνεύτως, σκέπην σε Θεοτόκε, πάντων πιστῶν ἀνέδειξε.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἀποστόλου.

Ἦχος δ´. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τὴν τοῦ Πνεύματος ἔλλαμψιν, τῇ ψυχῇ σου δεξάμενος, τοῦ Χριστοῦ Ἀπόστολος ἐνθεώτατος, ὡς ἀληθῶς ἐχρημάτισας, καὶ μύστης οὐράνιος, καὶ ἐκφάντωρ ἱερός, τῶν δογμάτων τῆς χάριτος, θείοις χείλεσιν, εὐσεβείας τὴν γνῶσιν ἐκδιδάσκων, Ἀνανία θεηγόρε, καὶ τὸ τῆς πίστεως κήρυγμα.

Ἐπιστὰς ἐν ὁράματι, ὁ Χριστός σοι ἐβόησεν: Ἀναστὰς πορεύθητι καὶ ἐκζήτησον, Σαῦλον Ταρσέα καὶ δίδαξον, αὐτὸν τὰ οὐράνια· σὺ δὲ τάχος πορευθείς, καὶ τελέσας τὸ πρόσταγμα, κατεφώτισας, καὶ ψυχήν τε καὶ σῶμα Ἀνανία, τὸν μετέπειτα τὴν κτίσιν, θείῳ φωτὶ καταυγάσαντα.

Γεωργήσας τῷ λόγῳ σου, γεωργὸς ὡς θεόσοφος, τῶν ψυχῶν τὴν ἄρουραν ἐγκατέσπειρας, ἐν ταύταις σπόρον τὸν ἔνθεον, Ἀπόστολε ἔνδοξε, καὶ ἀθλήσας ἀνδρικῶς, τὸν Χριστὸν ἐμεγάλυνας, τοῖς ἀγῶσί σου· διὰ τοῦτο τῆς ἄνω βασιλείας, κληρονόμος ἀνεδείχθης, καὶ πρεσβευτὴς τῶν ψυχῶν ἡμῶν.

Προσόμοια ἕτερα.

Ἦχος ὁ αὐτός. Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ τὴν ἀκτῖνα τὴν θείαν δεδεγμένος, ὅτε νεύσει κρείττονι πεπηρωμένος σοι, ὁ πρώην ζόφῳ κρατούμενος, προσῆλθε Σαῦλος, τὴν θείαν κάθαρσιν ἐξαιτούμενος, τότε παμμακάριστε ὡς Ἱεράρχης σοφός, υἱοθετεῖς τῷ βαπτίσματι, τὸν μετὰ ταῦτα, τὴν οἰκουμένην υἱοθετήσαντα· ὅθεν σὺν τούτῳ μακαρίζομεν, τοῦ Χριστοῦ σε τὸν θεῖον Ἀπόστολον, Ἀνανία θεόφρον, ἱκετεύοντα σωθῆναι ἡμᾶς.

www.tezaurliturgic.ro



Μεμυημένος τὰ θεῖα παραδόξως, βροντῆς γεγονώτερον μάκαρ ἐσάλπισας, λόγον Θεοῦ τὸν σωτήριον, καὶ τοὺς ὑπνοῦντας, ἐν τοῖς μνημείοις τῆς ματαιότητος, ἐξήγειρας, νέκρωσιν ἐναπορρίψαντας, τὴν τοῖς νεκροῖς συνοικίζουσαν, καὶ ἐν τῷ ᾍδῃ, τοὺς κεκτημένους ἐναποστρέφουσαν· οὓς ἀπειργάσω τοῦ νεκρώσαντος, τὸν νεκρωτὴν ἀληθῶς σκεύη τίμια, Ἰησοῦ τοῦ Δεσπότου, καὶ σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ὡς φωτοφόρος ὡς θεῖος ὑποφήτης, ὡς Μάρτυς θεόκριτος τῶν παθημάτων Χριστοῦ, καὶ τῆς μελλούσης φανήσεσθαι, ἀρρήτου δόξης, συγκληρονόμος τε καὶ συμμέτοχος, συνὼν τῷ Δεσπόζοντι, καὶ ἐνηδόμενος, ταῖς πηγαζούσαις ἑκάστοτε, φωτοχυσίαις, ἐκ τοῦ ἀδύτου φέγγους θεσπέσιε, τὴν φαιδροτάτην τοὺς τελοῦντάς σου, νῦν ἑορτὴν εὐπροσδέκτοις πρεσβείαις σου, ζοφερῶν ἐκ κινδύνων, Ἀνανία ἐλευθέρωσον.

Δόξα. Ἦχος α΄.

Τὸ σκεῦος τῆς ἐκλογῆς, τὸ μέγα δοχεῖον τοῦ Πνεύματος, Παῦλον τὸν Ἀπόστολον, ἐφώτισας Ἀπόστολε, θεόθεν κατὰ ἀποκάλυψιν χρηματισθείς, ὡς αὐτόπτης τοῦ Λόγου, καὶ μύστης τῶν θαυμάτων αὐτοῦ, Ἀπόστολος δὲ πρὸ τῶν μαθητῶν, καὶ πιστὸς οἰκονόμος, τῆς νέας Διαθήκης. Διὸ αὐτὸν μιμούμενος, τὸν διδάσκαλον Χριστόν, τὸ οἰκεῖον αἷμα ἐξέχεας, μαρτυρικῷ πάθει ὁμολογητὴς γενόμενος, Ἀνανία Ἱεράρχα Χριστοῦ· καὶ τὸν δρόμον τελέσας, τὴν πίστιν τε ἄσυλον τηρήσας, σὺν τοῖς ἄνω λειτουργοῖς ἐν ὑψίστοις αὐλιζόμενος, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Τὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν Ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα. Αὕτη γὰρ ἀνεδείχθη οὐρανός, καὶ ναὸς τῆς Θεότητος. Αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ βασίλειον ἠνέῳξε. Ταύτην οὖν κατέχοντες, τῆς πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν, τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν,

www.tezaurliturgic.ro



θαρσείτω λαὸς τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθρούς, ὡς Παντοδύναμος.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα τῆς 29ης Ἰουνίου.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Ὡς ἀστὴρ ἑωθινός, τῇ οἰκουμένῃ ἐξέλαμψας, τῇ δοθείσῃ σοι χάριτι, Ἀνανία Ἀπόστολε· τοῦ γὰρ Ἡλίου τῆς δικαιοσύνης, τὰς ἀκτῖνας δεξάμενος, τοῦ Εὐαγγελίου τῆς εἰρήνης, φωστὴρ ἐχρημάτισας, καὶ τὸ φῶς τὸ ἀληθινόν, τὸ φωτίζον πάντα ἄνθρωπον, τοῖς ἐν σκότει καὶ σκιᾷ, τῆς ἀγνωσίας καθημένοις, διδαχαῖς σου ὑπέδειξας· καὶ τέκνα φωτὸς τούτους ἀναδείξας, τῷ Πατρὶ τῶν φώτων, μαρτυρικῶς ἐξεδήμησας, χάριν καὶ ἔλεος αἰτούμενος, τοῖς πιστῶς βοῶσι· Κύριε δόξα σοι.

Ἦχος β΄.

Τοῦ Παρακλήτου τὴν ἐπίπνοιαν, καταπλουτήσας Ἀπόστολε, στόμα θεῖον πέφηνας, λαλοῦν καὶ ἐνεργοῦν τὰ κρείττονα, ἐν Ἁγίῳ Πνεύματι· καὶ τῷ λόγῳ τῆς χάριτος, θεοπρεπῶς θαυματουργῶν, ἐξ ἀναξίων ἀξίους, πλείστους Χριστῷ προσήγαγες, ὡς ὑποφήτης θεόληπτος, τῆς ἐν αὐτῷ ζωῆς μακαρίας· ταύτης γὰρ τὴν δύναμιν, ἄθλοις μαρτυρίου ἐξέφηνας, Ἀνανία πανεύφημε, πρὸς δόξαν Κυρίου τοῦ σὲ δοξάσαντος.

Ἦχος γ΄.

Ὡς μαθητὴς τοῦ Σωτῆρος ἔνθεος, καὶ λειτουργὸς καὶ διάκονος, τῶν μυστηρίων τῆς χάριτος, πλήρης σοφίας καὶ συνέσεως, ἀνεδείχθης Ἀνανία Ἀπόστολε· ἔνθεν ἐν ὁράματι, ὑπὸ Κυρίου χρηματισθείς, τὴν μεγάλην τοῦ Πνεύματος σάλπιγγα, Παῦλον τὸν θεσπέσιον, θαυμαστῶς ἐμυσταγώγησας, τὴν τοῦ ὁραθέντος χρηστότητα, καὶ τῆς ἐν αὐτῷ οἰκονομίας, τὸ ἀπόρρητον μυστήριον. Ἀλλ᾽ ὡς τῆς ἄνω δόξης κατατρυφῶν, σὺν αὐτῷ ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

www.tezaurliturgic.ro



Ἦχος δ'.

Ἀθλοφορικὸν ἐνδιαίτημα ἀπεφάνθης, Ἀνανία Ἀπόστολε· καὶ λίθοις ὡς ἄνθεσι πυκαζόμενος, ὑπὲρ τοῦ παθόντος σαρκὶ δι' ἡμᾶς, ἑκουσίως τὸ αἷμά σου ἐξέχεας· ὅθεν ἡ Δαμασκὸς ἐναβρύνεται, τῇ ἱερᾷ πανηγύρει σου σήμερον· οὐ μόνον δὲ ἐκείνη, ἀλλὰ καὶ ἡ πᾶσα ὑφήλιος, τῶν θαυμάτων σου τὰ τεράστια, σαφῶς ἀνακηρύττουσα βοᾷ· Πρέσβευε πρὸς Θεόν, τοῦ δωρήσασθαι ἡμῖν, τῶν πταισμάτων τὴν συγχώρησιν.

Δόξα. Ὁ αὐτός.

Τὸν Ἀπόστολον καὶ Μάρτυρα, καὶ τοῦ Εὐαγγελίου ἐργάτην δόκιμον, Ἀνανίαν τὸν μέγαν, ᾀσματικοῖς ἐπαίνοις ἐγκωμιάσωμεν· ἀκολουθήσας γὰρ τῷ Σωτῆρι, τῶν προσταγμάτων αὐτοῦ, πληρωτὴς ἀνεδείχθη· καὶ τῆς αἰωνίου ζωῆς τὰ ῥήματα, ὡς δρόσον οὐράνιον, ταῖς λογικαῖς ἀρούραις ἐπώμβρησεν· εἰδωλικὴν δὲ φαυλίσας ματαιότητα, ποικίλους αἰκισμοὺς ὑπέστη, καὶ λιθολευστηθεὶς ὑπὲρ Χριστοῦ, διὰ θανάτου πρὸς τὴν ἄνω ζωὴν μεταβέβηκε, πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις Μύστα Χριστοῦ ἱερέ, τῶν Μαθητῶν τῶν Ἑβδομήκοντα καύχημα· τὸ στόμα τοῦ Παρακλήτου, ὁ τῆς σοφίας κρουνὸς τῆς θεογνωσίας σάλπιγξ εὔσημος· πηγὴ ἡ θεόβρυτος, ἐξ Ἐδὲμ ἡ πηγάζουσα, τῆς εὐσεβείας, ὕδωρ ζῶν τὸ ἁλλόμενον, εἰς αἰώνιον, ζωὴν ὄντως ὡς γέγραπται· βίου σεμνοῦ ὑπόδειγμα, ἠθῶν καθαρότητος, ὁ φυτοκόσμος ὁ θεῖος, ἱεροφάντορ Ἀπόστολε· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος.

Χαίροις τῶν ἐκ Θεοῦ ἀγαθῶν, τῶν δωρεὰν χορηγουμένων Ἀπόστολε, τοῖς πίστει δικαιουμένοις, πρὸς τὸν Σωτῆρα Χριστόν, πλούτῳ εὐσπλαγχνίας καὶ χρηστότητος, ἐκφάντωρ θεόσοφος, καὶ

www.tezaurliturgic.ro



διάκονος ἄριστος, καὶ ὑπηρέτης, ἐν τῷ λόγῳ τῆς χάριτος, καὶ κηρύγματι, τῶν δογμάτων τῆς πίστεως· κήρυξ ὁ Πνευματέμφορος, τῆς θείας σαρκώσεως, δι᾽ ἧς Θεῷ Ἀνανία, υἱοθετούμεθα χάριτι· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Χαίροις τῆς Δαμασκοῦ ὁ φωστήρ, καὶ πρὸς Χριστὸν καθοδηγὸς καὶ διδάσκαλος· ἐν ταύτῃ γὰρ διαλάμψας, ὡς ἑωσφόρος λαμπρός, τὴν ἀχλὺν τῆς πλάνης ἀπεμείωσας, καὶ χαίρων ἐνήθλησας, καὶ ἀνδρείως ὑπέμεινας, τῷ σώματί σου, ἀλγηδόνας καὶ μάστιγας, καὶ λιθόλευστον, πανᾳοίδιμε θάνατον· ὅθεν πρὸς τὴν ἀθάνατον, ζωὴν μεταβέβηκας, καὶ τοῦ καρποῦ ἀπολαύεις, τοῦ τῆς θεώσεως πάντοτε. Αὐτοῦ Ἀνανία, καὶ ἡμᾶς μετόχους δεῖξον, ταῖς ἱκεσίαις σου.

Δόξα. Ἦχος πλ. δ΄.

Μαθητευθεὶς ἐν Πνεύματι, τῆς εὐσεβείας τὸ μέγα μυστήριον, ὡς ἀστραπὴ Δαβιτικῶς, ἔφανας τῷ κόσμῳ Ἀνανία Ἀπόστολε· καὶ τὴν ἐξ ὕψους Ἀνατολήν, Χριστὸν τὸν Θεὸν ἡμῶν, τοῖς πεπλανημένοις ἐκήρυξας, ἐξ ὁδοῦ ἀπωλείας ἀποστρέψας αὐτούς, πρὸς ἀληθείας ἐπίγνωσιν. Διὸ τὸν δρόμον τελέσας δι᾽ αἵματος, ἱκέτευε δεόμεθα, σὺν τῷ θείῳ Παύλῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι...

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὡς ἔμπλεως χάριτος, τοῦ Τρισηλίου φωτός, τὸ σκεῦος ἐφώτισας, τῆς ἐκλογῆς τοῦ Χριστοῦ, Ἀνανία Ἀπόστολε· ὅθεν ἀνακηρύξας, εὐσεβείας τὸν λόγον, ἄθλοις ἐβεβαιώσω, τὴν σωτήριον χάριν· δι᾽ ἧς τοῖς σὲ εὐφημοῦσι, δίδου τὰ μίσθια.

Θεοτοκίον.

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον...

Ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἐξέλαμψε λαμπρῶς, ἡ ἁγία σου μνήμη, εὐφραίνουσα ἡμᾶς, Ἀνανία θεόπτα, τοῖς θείοις σου παλαίσμασι, καὶ λαμπροῖς κατορθώμασι, δι᾽ ὧν ἔλυσας, τῆς ἀθεΐας τὴν νύκτα, καὶ ἀνέσπερον, ηὔγασας φῶς τοῖς ἐν σκότει, τῆς πλάνης καθεύδουσι.

Θεοτοκίον.

Θεότητος μορφήν, ἑνωθεῖσαν ἀτρέπτως, σαρκὶ τῇ καθ᾽ ἡμᾶς, ἐξ ἁγνῶν σου αἱμάτων, ἐχώρησας ἐν μήτρα σου, καὶ διπλοῦν κόσμῳ τέτοκας, Θεὸν τέλειον, καὶ βροτὸν τέλειον Κόρη, τὸν Ὑπέρθεον, Χριστὸν μιᾷ ὑποστάσει, φθορᾶς ἡμᾶς σώζοντα.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἰάσεις καὶ θαύματα, ἐν Δαμασκῷ θαυμαστῶς, ὡς θεῖος Ἀπόστολος, καὶ Ἱεράρχης Χριστοῦ, τελῶν θείῳ Πνεύματι, εἵλκυσας ψυχὰς πλείστας, πρὸς ἐπίγνωσιν θείαν, ἤθλησας ἀνενδότως, δι᾽ ἀγάπην Κυρίου· διό σε Ἀνανία ὁ Σωτήρ, ἀξίως ἐδόξασε.

Θεοτοκίον.

Θεὸν τὸν ἀσώματον, σωματωθέντα ἐκ σοῦ, δι᾽ ἔλεος ἄφατον, δίχα τροπῆς καὶ φυρμοῦ, ἐκύησας Ἄχραντε· ὅθεν τῆς σωτηρίας, φωταυγὴς πύλη ὤφθης, ἄγουσα Θεοτόκε, πρὸς οὐράνιον δόξαν, τοὺς πίστει ἀδιστάκτῳ, πρὸς σὲ καταφεύγοντας.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

www.tezaurliturgic.ro



Τῇ ἐπιθέσει τῶν ἁγίων χειρῶν σου, τοὺς πυρωθέντας ὀφθαλμοὺς θεραπεύεις, καὶ μυστικῶς φωτίζεις θείῳ Πνεύματι, δι᾿ ἀποκαλύψεως, καὶ ὀμφῆς οὐρανίας, Παῦλον τὸν Ἀπόστολον, ὡς τῆς χάριτος στόμα, μεθ᾿ οὗ δυσώπει σώζεσθαι ἡμᾶς, ὦ Ἀνανία, τοὺς σὲ μακαρίζοντας.

Θεοτοκίον.

Τὸν ὑπερούσιον Θεὸν καὶ Δεσπότην, οὐσιωθέντα ἐξ ἁγνῶν σου αἱμάτων, ὑπερφυῶς ἐγέννησας Πανάμωμε, κόσμον ἀναπλάττοντα, τῆς ἀρχαίας κατάρας, καὶ φθορᾶς ῥυόμενον, τοὺς πιστῶς σε τιμῶντας· ὅθεν κἀμὲ παθῶν φθοροποιῶν, ῥῦσαι Παρθένε, καὶ σῶσόν με δέομαι.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται...

Εὐαγγέλιον κατὰ Λουκᾶν.

Ζήτει αὐτὸ τῇ Παρασκευῇ τῆς ε΄ ἑβδομάδος τοῦ Λουκᾶ.

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἀποστόλου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεός...

Ὁ τῆς Χριστοῦ οἰκονομίας μύστης, καὶ τῶν παθῶν αὐτοῦ, κοινωνὸς καὶ μάρτυς, Ἀνανίας ὁ Ἀπόστολος, τὸν τῆς εὐσεβείας περάνας δρόμον, τῆς ἀφθαρσίας τὸν στέφανον, μεγαλοπρεπῶς ἀνεδήσατο· καὶ νῦν τῷ ἀδύτῳ φωτί, τῆς Τριάδος καταλαμπόμενος, πρεσβεύει ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου κ.λ.π.

Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου.

www.tezaurliturgic.ro



Ὁ Κανὼν τοῦ Ἀποστόλου, οὗ ἡ Ἀκροστιχὶς (ἄνευ τῶν Θεοτοκίων)·

Ἀνανίου με τὸ κλέος δοξαζέτω.
Ἰωάννου Μοναχοῦ.

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἀνοίξωμεν στόμα εὐφημικόν, τρανώσωμεν γλῶτταν, ἐν τῇ μνήμῃ πάντες πιστοί, τοῦ ἀρχιποιμένος Ἀνανίου, καὶ σὺν αὐτῷ τῷ Θεῷ ἡμῶν ᾄσωμεν.

Νυμφίῳ ἀχράντῳ νυμφαγωγεῖ, τὴν ἄσπιλον νύμφην, Ἀνανίας ὁ εὐκλεής, Χριστοῦ τὴν ἐνταῦθα Ἐκκλησίαν, μεθ᾿ ἧς φαιδρῶς τῷ Θεῷ ἡμῶν ᾄσωμεν.

Ἀρχαῖος γενόμενος μαθητής, τῷ νέῳ βραβεύεις, τὴν ἀνάβλεψιν φοιτητῇ, τῷ πάλαι διώκτῃ Ἀνανία, καὶ μελῳδεῖς· Τῷ Θεῷ ἡμῶν ᾄσωμεν.

Θεοτοκίον.

Τάξεις σε Ἀγγέλων καὶ τῶν βροτῶν, ἀνύμφευτε Μῆτερ, εὐφημοῦσιν ἀνελλιπῶς· τὸν Κτίστην γὰρ τούτων ὥσπερ βρέφος, ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

ᾨδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Νεύμασιν ἑπόμενος, τοῦ Διδασκάλου σου γέγονας, Ἀρχιερεύς, ἀθλοφορικόν τε, ἱερεῖον Ἀπόστολε.

Ἵλεων ἐντεύξεσι, θεοπειθέσι σου ἔργασαι, τὸν Λυτρωτήν, τοῖς σὲ ἀνυμνοῦσιν, Ἀνανία Ἀπόστολε.

Ὅλην σοι ἐπέδησε, τὴν τοῦ θηρὸς ὁρμὴν Κύριος, ἐπιφανείς, ἐν φωτὶ ἀῤῥήτῳ, ἀμαυρώσας τὸ πρόσωπον.

Θεοτοκίον.

Σὲ πάντες κεκτήμεθα, καταφυγὴν καὶ τεῖχος ἡμῶν, Χριστιανοί· σὲ δοξολογοῦμεν, ἀσιγήτως ἀνύμφευτε.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

www.tezaurliturgic.ro



Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Τοῖς πάθεσι Χριστοῦ, κοινωνὸς ἀνεδείχθης, Ἀπόστολε σοφέ, καὶ αὐτόπτα τοῦ Λόγου· πιὼν γὰρ τὸ ποτήριον, ἐτελέσθης δι᾿ αἵματος. Ἀλλ᾿ ὡς σύνθρονος, καὶ κληρονόμος ὑπάρχων, ἐκδυσώπησον, ὑπὲρ εἰρήνης τοῦ κόσμου, αὐτὸν ὡς φιλάνθρωπον.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Φωτί σου ἀγαθή, τὴν ἐν σκότει ψυχήν μου, καταύγασον Ἁγνή, καὶ τὴν πώρωσιν λῦσον, καὶ δίδαξον πράττειν με, τοῦ Υἱοῦ σου τὸ θέλημα· ὅπως ἄφεσιν, τὴν τῶν πολλῶν μου πταισμάτων, εὕρω πάναγνε, καὶ τοῦ πυρὸς τοῦ ἀσβέστου, ρυσθῶ ταῖς πρεσβείαις σου.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ὑπὸ σοῦ παιδευόμενος, ἀθλοφορικῶς τροποῦται τὸν θάνατον, Ἀνανίας ὁ ἀοίδιμος, παρὰ σοῦ βραβεῖα κομιζόμενος.

Μαθητὴς ἐχρημάτισας, τοῦ διωκομένου Λόγου ἀοίδιμε, Ἀνανία καὶ Διδάσκαλος, τῆς θεοσεβείας τῷ διώκοντι.

Ἐνεφάνισε Κύριος, Σαύλῳ ἀομμάτῳ σὲ τὸν κρυπτόμενον, καὶ ὑπέδειξε μεσίτην σε, Ἀνανία τούτῳ τῆς ἰάσεως.

Θεοτοκίον.

Τὸν Θεὸν ὃν ἐκύησας, ἄχραντε Παρθένε, τοῦτον ἱκέτευε, ἀπὸ πάσης περιστάσεως, λυτρωθῆναι πάντας τοὺς ὑμνοῦντάς σε.

Καταβασία. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Τοῖς ἐν σάλῳ λιμένα, θεῖον ἡ ἀέναος πηγή σε ἔδειξε· τοῖς ἐν ζόφῳ φέγγος, τὸ ἀπρόσιτον φῶς ἀπειργάσατο, Ἀνανία μάκαρ, ὡς φοιτητῇ ἀξιοχρέῳ, εὐμενῶς ἐν σοὶ ἀναπαυσάμενον.

Ὁ ὁρῶν κεκρυμμένα, καὶ πρὸ τῆς γενέσεως εἰδὼς τὰ σύμπαντα, σοὶ τῷ κεκρυμμένῳ, τὸν λανθάνοντα ἥλιον ἔδειξε, τὸν ποτὲ διώκτην, μετ᾿ οὐ πολὺ τῆς πορθουμένης, ὑπ᾿ αὐτοῦ ἀληθείας ὑπέρμαχον.

www.tezaurliturgic.ro



Καταλήψεως πέραν, ἡ ἀνεξιχνίαστος οἰκονομία σου· δι᾿ αὐτῆς γὰρ Σῶτερ, ὁ φρικτὸς ἐξουδένωται θάνατος· Ἀνανίας ὅθεν, ὡς νικητὴς καὶ ἱεράρχης, ὑπὲρ σοῦ γεγηθὼς σφαγιάζεται.

Θεοτοκίον.

Ὡς Θεὸν συλλαβοῦσαν, τὸν Δημιουργὸν τῶν ἁπάντων καὶ Κύριον, γενεαί σε πᾶσαι, τῶν ἀνθρώπων Ἁγνὴ μακαρίζουσι· καὶ τῶν Ἀσωμάτων αἱ νοεραὶ ταξιαρχίαι, ὡς Μητέρα Θεοῦ σε δοξάζουσι.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

ᾨδὴ ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Λατρεύειν ζῶντι Θεῷ, μεμαθηκὼς ἱερώτατε, καὶ λύσας πολυσχιδῆ, ἀφρόνων κακόνοιαν, τὴν μίαν ἐδίδαξας, Ἀνανία σέβειν, τρισυπόστατον Θεότητα.

Ἐδέξω ἐν ταῖς χερσί, τῆς Ἐκκλησίας τοὺς οἴακας, τῷ κυβερνήτῃ Χριστῷ, φοιτήσας Ἀπόστολε· καὶ ταύτην τῷ Πνεύματι, ὡς ὁλκάδα θείαν, Ἀνανία ἐκυβέρνησας.

Ὁ πλαστουργήσας εὐθῆ, ὁδὸν εὐθύπορον στέλλεσθαι, σοῦ τῷ κλεινῷ μαθητῇ, προσέταξας Δέσποτα, τῆς δικαιοτάτης σου, ἐκλογῆς τὸ Σκεῦος, ἐκκαλύπτων προσευχόμενον.

Θεοτοκίον.

Ὡς ἔμψυχος κιβωτός, τὸν νομοδότην ἐχώρησας· ὡς ἅγιος δὲ ναός, ἐδέξω τὸν Ἅγιον, ἄνθρωπον γενόμενον, ἐπ᾿ εὐεργεσίᾳ, τῶν ἀνθρώπων Μητροπάρθενε.

Καταβασία. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Κοντάκιον, Ἦχος β΄. Τὴν ἐν πρεσβείαις.

Ὁ ἐν πρεσβείαις θερμότατος ἀντιλήπτωρ, καὶ τοῖς αἰτοῦσι ταχύτατα ὑπακούων, δέξαι τὴν δέησιν Ἀνανία ἡμῶν, καὶ τὸν Χριστὸν δυσώπει τοῦ ἐλεῆσαι ἡμᾶς, τὸν μόνον Ἁγίοις δοξαζόμενον.

www.tezaurliturgic.ro



Ὁ Οἶκος.

Τῷ φωτισμῷ τῆς ἐλλάμψεώς σου ἐκκαθάρας, Σωτήρ μου, τὴν ἀχλὺν τῆς ἐμῆς καρδίας καὶ τὴν πώρωσιν, δίδου μοι λόγον ἀνευφημῆσαι, καθαρῷ συνειδότι, τοῦ Ἀποστόλου τὰς θεαυγεῖς ἀρετάς, καὶ τοὺς ἄθλους τοῦ μάκαρος· πηγὴ γὰρ σὺ εἶ σοφίας, καὶ δοτὴρ ἀγαθὸς πολυεύσπλαγχνε· διὸ τρανώσας τὴν γλῶττάν μου, τὸν ἐφύμνιον ὕμνον μου πρόσδεξαι, ὁ μόνος Ἁγίοις δοξαζόμενος.

Συναξάριον.

Μὴν Ὀκτώβριος, ἔχων ἡμέρας λα΄.
Ἡ ἡμέρα ἔχει ὥρας ια΄ καὶ ἡ νὺξ ὥρας ιγ΄.

Τῇ Α΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Ἀποστόλου Ἀνανίου·

Στίχοι.

Λίθοις νέμειν θέλοντα μηδαμῶς σέβας,
Ἀνανίαν βάλλουσι δυσσεβεῖς λίθοις.
Λεύσθη Ἀνανίας Ὀκτωβρίου ἤματι πρώτῳ.

Οὗτος ὁ Ἅγιος Ἀνανίας ὁ Ἀπόστολος ὑπῆρχεν ἐκ πόλεως Δαμασκοῦ, ὃς καὶ Παῦλον ἐβάπτισε δι' ἀποκαλύψεως, γενόμενος Ἐπίσκοπος ἐν τῇ αὐτῇ πόλει. Τελῶν οὖν πολλὰς ἰάσεις ἐν Δαμασκῷ καὶ ἐν Ἐλευθερουπόλει, καὶ πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἐπισπώμενος πίστιν, ὑπὸ Λουκιανοῦ Ἡγεμόνος τύπτεται βουνεύροις, καὶ τὰς πλευρὰς ξέεται, καὶ λαμπάσι καταφλέγεται· καὶ ἐξωσθεὶς τῆς πόλεως, λιθοβολεῖται, καὶ οὕτω πληροῖ τὸ μαρτύριον, καὶ πρὸς τὰς αἰωνίους σκηνὰς ἀπαίρει.

Τῇ αὐτῇ ἡμέρᾳ, τὴν ἀνάμνησιν ἑορτάζομεν τῆς ἁγίας Σκέπης τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ῥωμανοῦ, τοῦ Ποιητοῦ τῶν Κοντακίων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Μιχαὴλ ἐκ τῆς Μονῆς Ζώβης, καὶ τῶν σὺν αὐτῷ λς΄ Ἁγίων Μοναχῶν, τῶν μαρτυρησάντων ἐν τῇ ἐνορίᾳ Σεβαστουπόλεως.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων ἓξ Ὁσιομαρτύρων, ξίφει τελειωθέντων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Δομνίνου.

www.tezaurliturgic.ro



Ταῖς τῆς Ἀχράντου σου Μητρὸς καὶ τῶν Ἁγίων σου πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Σαλπιζέτω ἐμφρόνως, ἡ θεόλεκτος ποίμνη, εὐήχῳ σάλπιγγι, τοὺς ἄθλους τοῦ ποιμένος, Ἀνανίου βοῶσα, τῷ αὐτῆς Ποιμενάρχῃ Χριστῷ· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητός εἶ.

Δοξαζέτω Θεοῦ σε, μαθητὴν Ἀνανία, καὶ ἱεράρχην σεπτόν, καὶ Μάρτυρα τῶν θείων παθημάτων φωνοῦσα, ἡ σεπτὴ Ἐκκλησία Χριστῷ· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητός εἶ.

Οὐ θανάτου τῷ δέει, ἀλλὰ πόθῳ τῆς ποίμνης ἀποκρυπτόμενος, τὸν λύκον ὥσπερ ἄρνα, δρῶν τιθασσευθέντα, Ἀνανίας ἐκραύγαζεν· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητός εἶ

Θεοτοκίον.

Παρθενικῆς ἐκ νηδύος, σαρκωθεὶς ἐπεφάνης εἰς σωτηρίαν ἡμῶν διό σου τὴν Μητέρα, εἰδότες Θεοτόκον, εὐχαρίστως κραυγάζομεν· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητός εἶ.

Καταβασία. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

ᾨδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ξενακουστεῖν ἐνόμιζεν, Ἀνανίας ὁ ἔνδοξος, ἐξ ἁρπακτικῆς, τοῦ πορθητοῦ τῆς ποίμνης σου, δυνάμεως Δέσποτα, τὴν ὑπὲρ λόγον ἄμειψιν, πρὸς ποιμαντικήν· ὅθεν σκιρτῶν ἀνεβόα· Οἱ Παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας

Ἀγαλλιάσθω σήμερον, καὶ σκιρτάτω τῷ πνεύματι, ἡ πανευκλεής, καὶ μακαρία πόλις σου, τὴν σὴν εὐμοιρήσασα, ἐπιστασίαν Ἔνδοξε, καὶ εὐχαριστοῦσα τῷ Σωτῆρι βοάτω· Οἱ Παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ζωοποιῷ προστάγματι, Ἀνανία ὑπέρτιμε, τὴν φωτοποιὸν τοῦ δραθέντος δύναμιν, τῷ Σαύλῳ ἐκήρυξας, καὶ ἀπεκρούσω πήρωσιν, τὰς ἀλεξικάκους, ἐπιθείς σου παλάμας, φολίδας δρακοντίους, ἐκβαλὼν ὡς λεπίδας, βοῶν· Ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ἡ ἐν ἀνάγκαις σώζουσα, καὶ θερμῶς προστατεύουσα, πάντας τοὺς ἐν θλίψει, Παναγία Δέσποινα, σπλαγχνίσθητι σῶσόν με, καὶ πεπτωκότα ἔγειρον, χεῖρα βοηθείας, πρὸ τοῦ τέλους διδοῦσα, μὴ νύξ με τοῦ θανάτου, καταλάβῃ ὑπνοῦντα, ἵνα σε κατὰ χρέος, δοξάζω εἰς αἰῶνας.

Καταβασία. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ὠδὴ θ΄. Σὲ τὴν ἀπειρόγαμον.

Ἔλυσας Πανεύφημε, τὸ σκότος τὸ τῆς ἀγνωσίας, φῶς δὲ ἀληθῶς ἐξήστραψας, Δαμασκῷ τρισυπόστατον· ἀλλὰ ὡς φιλότεκνος πατὴρ καὶ φιλόστοργος ποιμενάρχης, ὀρθοδοξοῦσαν ταύτην φύλαττε.

Ταύτην τὴν ἐτήσιον, πανήγυριν ἐπιτελοῦντες, δεῦτε φωταυγεῖ ἐκλάμποντες, τῆς ψυχῆς ἀξιώματι, τοῦ τῆς Τριάδος, λατρευτοῦ τε καὶ κήρυκος Ἀνανίου, τὴν τριφεγγῆ ἀρετὴν μέλψωμεν.

Ὢ τῆς ὑπὲρ ἄνθρωπον, ἀξίας σου μάκαρ Ἀνανία! ὡς γὰρ μαθητὴς ἠγάπησας, ὡς ποιμὴν ἀναπέπαυσαι, καὶ ὡς ἀθλοφόρος, τῷ Χριστῷ συνδεδόξασαι, τοῖς στεφάνοις μαρτυρικῶς ἀγλαϊζόμενος.

Θεοτοκίον.

Ἄχραντε πανάμωμε, τὸ σκεῦος τὸ τῆς εὐωδίας, αἴτησαι Χριστὸν ὃν ἔτεκες, Βασιλεῖ μὲν τὰ τρόπαια, τοῦ τῆς δουλείας δὲ ζυγοῦ, δοῦναι τὴν ἄνεσιν τῷ λαῷ σου· σὲ γὰρ ἀπαύστως μεγαλύνομεν.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἀρχαῖος μαθητὴς Χριστοῦ, γεγονὼς Ἀνανία, τῷ νέῳ τὴν ἀνάβλεψιν, μαθητῇ σὺ βραβεύεις, Παύλῳ τῷ θείῳ· διό σε, σὺν αὐτῷ εὐφημοῦμεν, ὡς Ἱεράρχην ἔνθεον, ὡς Ἀπόστολον θεῖον, ὡς ἀληθῆ,

www.tezaurliturgic.ro



Μάρτυρα καὶ κήρυκα θεηγόρον, καὶ πρεσβευτὴν θερμότατον, πάσης τῆς οἰκουμένης.

Θεοτοκίον.

Θεογεννῆτορ Πάναγνε, ἡ Θεὸν ἀπορρήτως, σωματικῶς κυήσασα, εἰς ἀνάπλασιν κόσμου, πάσης φθορᾶς καὶ ἀνάγκης, καὶ ἐχθρῶν ἐπηρείας, ἀπαρατρώτους φύλαττε, τοὺς θερμῶς προσιόντας σκέπη τῇ σῇ, καὶ τὰ μεγαλεῖά σου Θεοτόκε, διὰ παντὸς δοξάζοντας, στόματι καὶ καρδίᾳ.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τὸν θεηγόρον Κυρίου πάντες Ἀπόστολον, τῆς Ἑβδομηκοντάδος, Ἀποστόλων χορείας, τὸν ἔκλαμπρον ἀστέρα καὶ φαεινόν, Ἀνανίαν τὸν ἔνδοξον, μελῳδικῶς ἀνυμνήσωμεν οἱ πιστοί, ὡς ἡμῶν πρέσβυν πρὸς Κύριον.

Ἐπιφανεὶς ὁ Χριστός σοι ἔφη Ἀπόστολε, πορεύθητι καὶ Σαῦλον, ζήτησον τὸν Ταρσέα· αὐτὸν δὲ Ἀνανία εὑρὼν τῷ φωτί, τοῦ Σωτῆρος ἐφώτισας· μεθ' οὗ δυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν ὑμνούντων σου τὴν ἄθλησιν.

Τῆς Δαμασκοῦ Ποιμενάρχης ὤφθης Ἀπόστολε, καὶ ἐν αὐτῇ κηρύξας, σωτηρίας τὸν λόγον, ἠγώνισαι νομίμως ὑπὲρ Χριστοῦ, ὑπὲρ οὗ καὶ τὸν θάνατον, λιθολευστούμενος γνώμῃ τῇ ἀπηνεῖ, Ἀνανία ἐκαρτέρησας.

Ὡς τοῦ Χριστοῦ ὑπηρέτης καὶ ὑποφήτης σοφός, καὶ Ἀθλοφόρος θεῖος, Ἀνανία θεόφρον, τῆς ἄνω βασιλείας συγκοινωνὸς καὶ τῆς δόξης τῆς κρείττονος, συγκληρονόμος ἐδείχθης ἧς καὶ ἡμᾶς, μετασχεῖν εὐχαῖς σου ποίησον.

www.tezaurliturgic.ro



Δόξα. Ἦχος πλ. α΄.

Τὴν ἀποστολικήν σου ζωήν, μαρτυρικῷ τέλει ἐπεσφράγισας, Ἀνανία Ἀπόστολε· ἐν γὰρ τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ, πλείστους κόπους καὶ ἀγῶνας ἀνύσας, πρὸς ἀληθείας ἐπίγνωσιν ἐζώγρησας, τοὺς δεξαμένους τὸν λόγον σου· καὶ τούτους τέκνα φωτὸς εἰργάσω, υἱοθετήσας τῷ Θεῷ, ὡς οἰκονόμος τῆς χάριτος. Ἀλλ᾽ ὡς ἔχων παρρησίαν πρὸς Χριστόν, ἱκέτευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε...

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ' καὶ ς' ᾠδή.

## ΑΠΟΣΤΟΛΟΣ

Προκείμενον, Ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

(Κεφ. Θ', 10)

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἦν τις μαθητὴς ἐν Δαμασκῷ ὀνόματι Ἀνανίας...

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν.

(Κεφ. Ι', 16)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει...

(Ζήτει τὸ εἰς τὴν Λειτουργίαν τῶν Ταξιαρχῶν — 8 Νοεμβρίου).

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν...

Μεγαλυνάριον.

Χαίροις Ἀνανία κήρυξ Χριστοῦ, Ἑβδομηκοντάδος, Ἀποστόλων ἡ καλλονή· χαίροις ὁ τὸ σκεῦος, τῆς ἐκλογῆς φωτίσας, σταλεὶς παρὰ Κυρίου, λόγῳ τῆς χάριτος.

Δίστιχον.

Ἀνανία ὕμνησιν ἣν σοι προσᾴδει
Γεράσιμος δέξαι λογικὸν ὡς δῶρον.



Ἡ οἰκία τοῦ Ἀποστόλου
Ἀνανίου στή Δαμασκό.